31 πάντα γίνηται. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύ-
σονται, οἱ δὲ λόγοι μου οὐ [μὴ] παρελεύσονται.
32 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς
οἶδεν, οὐδὲ οἱ ἄγγελοι ἐν οὐρανῷ οὐδὲ ὁ υἱός, εἰ
33 μὴ ὁ πατήρ. Βλέπετε, ἀγρυπνεῖτε· οὐκ οἴδατε
Mt 25,14. L 19,12. 34 γὰρ πότε ὁ καιρός ἐστιν. ὡς ἄνθρωπος ἀπόδημος
ἀφεὶς τὴν οἰκίαν αὐτοῦ καὶ δοὺς τοῖς δούλοις
αὐτοῦ τὴν ἐξουσίαν, ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ
L 12,38. 35 τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ. γρηγορεῖτε
οὖν· οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας
ἔρχεται, ἢ ὀψὲ ἢ μεσονύκτιον ἢ ἀλεκτοροφωνίας
36 ἢ πρωΐ· μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύ-
37 δοντας. ὃ δὲ ὑμῖν λέγω, πᾶσιν λέγω, γρηγορεῖτε.

1.2: Mt 26,1–5. L 22,1.2. 14 Ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο
ἡμέρας. καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμ-
ματεῖς πῶς αὐτὸν ἐν δόλῳ κρατήσαντες ἀποκτεί-
2 νωσιν. ἔλεγον γάρ· μὴ ἐν τῇ ἑορτῇ, μή ποτε
ἔσται θόρυβος τοῦ λαοῦ.
3–9: Mt 26,6–13. J 12,1–8. 3 Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ
Σίμωνος τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ ἦλθεν
γυνὴ ἔχουσα ἀλάβαστρον μύρου νάρδου πιστικῆς
πολυτελοῦς· συντρίψασα τὴν ἀλάβαστρον κατέχεεν
4 αὐτοῦ τῆς κεφαλῆς. ἦσαν δέ τινες ἀγανακτοῦντες
πρὸς ἑαυτούς· εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου
5 γέγονεν; ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι
ἐπάνω δηναρίων τριακοσίων καὶ δοθῆναι τοῖς
6 πτωχοῖς· καὶ ἐνεβριμῶντο αὐτῇ. ὁ δὲ Ἰησοῦς

---

*31* [μη] : **hT—H** | αγγελοι : **h** αγγελος *33* αγρυπν. : **R**+ [και προσευχεσθε] **H** [εστιν] *36* **H** εξεφνης **14**,*3* **h** πολυτελους, — | την : **T** τον *4* ησαν . . . εαυτ. : **h**[r] ⊣ οι δε μαθηται αυτου διεπονουντο και ελεγον ⊢ *5* **h** τριακοσ. δηναρ. | **T** ενεβριμουντο

---

*37* εγω δε λεγω υμιν γρηγορ. **14**,*1* — και τα αζυμα | — εν δολω *3* — ναρδ. πιστ. πολυτ.

εἶπεν· ἄφετε αὐτήν· τί αὐτῇ κόπους παρέχετε;
καλὸν ἔργον ἠργάσατο ἐν ἐμοί. πάντοτε γὰρ τοὺς 7 Dt 15,11.
πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν, καὶ ὅταν θέλητε
δύνασθε αὐτοῖς εὖ ποιῆσαι, ἐμὲ δὲ οὐ πάντοτε
ἔχετε. ὃ ἔσχεν ἐποίησεν· προέλαβεν μυρίσαι τὸ 8
σῶμά μου εἰς τὸν ἐνταφιασμόν. ἀμὴν δὲ λέγω 9
ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον εἰς ὅλον
τὸν κόσμον, καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς
μνημόσυνον αὐτῆς. Καὶ Ἰούδας Ἰσκαριώθ, ὁ 10 10.11: Mt 26,14–16. L 22,3–6.
εἷς τῶν δώδεκα, ἀπῆλθεν πρὸς τοὺς ἀρχιερεῖς ἵνα
αὐτὸν παραδοῖ αὐτοῖς. οἱ δὲ ἀκούσαντες ἐχάρησαν 11
καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι. καὶ ἐζήτει
πῶς αὐτὸν εὐκαίρως παραδοῖ.

Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ 12 12–16: Mt 26,17–19. L 22,7–13.
πάσχα ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ·
ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν ἵνα φάγῃς
τὸ πάσχα; καὶ ἀποστέλλει δύο τῶν μαθητῶν 13
αὐτοῦ καὶ λέγει αὐτοῖς· ὑπάγετε εἰς τὴν πόλιν,
καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος
βαστάζων· ἀκολουθήσατε αὐτῷ, καὶ ὅπου ἐὰν 14 11,3.
εἰσέλθῃ εἴπατε τῷ οἰκοδεσπότῃ ὅτι ὁ διδάσκαλος
λέγει· ποῦ ἐστιν τὸ κατάλυμά μου, ὅπου τὸ πάσχα
μετὰ τῶν μαθητῶν μου φάγω; καὶ αὐτὸς ὑμῖν 15
δείξει ἀνάγαιον μέγα ἐστρωμένον ἕτοιμον· καὶ ἐκεῖ
ἑτοιμάσατε ἡμῖν. καὶ ἐξῆλθον οἱ μαθηταὶ καὶ 16
ἦλθον εἰς τὴν πόλιν καὶ εὗρον καθὼς εἶπεν αὐ- 17–25: Mt 26,20–29.
τοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα. Καὶ ὀψίας 17 L 22,14–23.
γενομένης ἔρχεται μετὰ τῶν δώδεκα. καὶ ἀνα- 18 J 13,21–26.
κειμένων αὐτῶν καὶ ἐσθιόντων ὁ Ἰησοῦς εἶπεν·
ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, Ps 41,10.
ὁ **ἐσθίων μετ' ἐμοῦ**. ἤρξαντο λυπεῖσθαι καὶ λέγειν 19

7 T— αυτοις | ευ : H pr [παντοτε] 8 T μου το σωμα 15 T κακει 18 ο εσθιων : h των εσθιοντων

9 το ευαγγ. : + τουτο | Σκαριωτης et Ισκ- 15 — ετοιμον 16 ευρ. : εποιησαν

20 αὐτῷ εἷς κατὰ εἷς· μήτι ἐγώ; ὁ δὲ εἶπεν αὐτοῖς·
εἷς τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ εἰς
21 τὸ τρύβλιον. ὅτι ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει
καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ
ἐκείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται·
καλὸν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.
1 K 11,23–25. 22 Καὶ ἐσθιόντων αὐτῶν λαβὼν ἄρτον εὐλογήσας
ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς καὶ εἶπεν· λάβετε·
23 τοῦτό ἐστιν τὸ σῶμά μου. καὶ λαβὼν ποτήριον
εὐχαριστήσας ἔδωκεν αὐτοῖς, καὶ ἔπιον ἐξ αὐτοῦ
Ex 24,8. Zch 9,11. 24 πάντες. καὶ εἶπεν αὐτοῖς· τοῦτό ἐστιν **τὸ αἷμά
μου τῆς διαθήκης** τὸ ἐκχυννόμενον ὑπὲρ πολλῶν.
25 ἀμὴν λέγω ὑμῖν ὅτι οὐκέτι οὐ μὴ πίω ἐκ τοῦ
γενήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης
26–31: Mt 26,30–35. ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ.
L 22,31–34.39. Ps 113–118. 26 Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν.
Zch 13,7. 27 Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς ὅτι πάντες σκανδα-
λισθήσεσθε, ὅτι γέγραπται· **πατάξω τὸν ποιμένα,**
16,7. 28 **καὶ τὰ πρόβατα διασκορπισθήσονται.** ἀλλὰ μετὰ
τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.
29 ὁ δὲ Πέτρος ἔφη αὐτῷ· εἰ καὶ πάντες σκανδα-
J 13,38. 30 λισθήσονται, ἀλλ' οὐκ ἐγώ. καὶ λέγει αὐτῷ ὁ
Ἰησοῦς· ἀμὴν λέγω σοι ὅτι σὺ σήμερον ταύτῃ τῇ
νυκτὶ πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι τρίς με
31 ἀπαρνήσῃ. ὁ δὲ ἐκπερισσῶς ἐλάλει· ἐὰν δέῃ με
συναποθανεῖν σοι, οὐ μή σε ἀπαρνήσομαι. ὡσαύτως
δὲ καὶ πάντες ἔλεγον.
32–42: Mt 26,36–46. 32 Καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα Γεθση-
L 22,40–46. μανεί, καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ· καθίσατε
J 18,1. 33 ὧδε ἕως προσεύξωμαι. καὶ παραλαμβάνει τὸν

---

*20 το* : H+ [*ἕν*] | R *τρυβλίον* *31* T *με δεη* | T *απαρνησωμαι* | H *ωσαυτ.* [*δε*]

---

*19* fin + *και αλλος μητι εγω* *21* — *ο υιος του ανθρ.* (2°) *23 το ποτηρ.* *24 της καινης διαθ.* | fin + *εις αφεσιν αμαρτιων* *25 ου μη προσθω πειν* *30* — *συ σημερον* | — *η δις*

*Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην μετ' αὐτοῦ,*
*καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν, ¹καὶ λέγει* 34 J 12,27. Ps 43,5.
*αὐτοῖς· **περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου**·*
*μείνατε ὧδε καὶ γρηγορεῖτε. καὶ προελθὼν μικρὸν* 35
*ἔπιπτεν ἐπὶ τῆς γῆς, καὶ προσηύχετο ἵνα εἰ δυ-*
*νατόν ἐστιν παρέλθῃ ἀπ' αὐτοῦ ἡ ὥρα, καὶ ἔλεγεν·* 36 10,38.
*ἀββᾶ ὁ πατήρ, πάντα δυνατά σοι· παρένεγκε τὸ*
*ποτήριον τοῦτο ἀπ' ἐμοῦ· ἀλλ' οὐ τί ἐγὼ θέλω*
*ἀλλὰ τί σύ. καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς* 37
*καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· Σίμων, καθεύ-*
*δεις; οὐκ ἴσχυσας μίαν ὥραν γρηγορῆσαι; ¹γρηγο-* 38
*ρεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ ἔλθητε εἰς πει-*
*ρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ*
*ἀσθενής. καὶ πάλιν ἀπελθὼν προσηύξατο τὸν* 39
*αὐτὸν λόγον εἰπών. καὶ πάλιν ἐλθὼν εὗρεν αὐτοὺς* 40
*καθεύδοντας, ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ κατα-*
*βαρυνόμενοι, καὶ οὐκ ᾔδεισαν τί ἀποκριθῶσιν*
*αὐτῷ. καὶ ἔρχεται τὸ τρίτον καὶ λέγει αὐτοῖς·* 41
*καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε· ἀπέχει·*
*ἦλθεν ἡ ὥρα, ἰδοὺ παραδίδοται ὁ υἱὸς τοῦ ἀν-*
*θρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν. ἐγείρεσθε,* 42
*ἄγωμεν· ἰδοὺ ὁ παραδιδούς με ἤγγικεν. Καὶ* 43 **43–54: Mt 26,47–58. L 22,47–55. J 18,2–18.**
*εὐθὺς ἔτι αὐτοῦ λαλοῦντος παραγίνεται [ὁ] Ἰούδας*
*[ὁ Ἰσκαριώτης] εἷς τῶν δώδεκα, καὶ μετ' αὐτοῦ*
*ὄχλος μετὰ μαχαιρῶν καὶ ξύλων παρὰ τῶν ἀρχιε-*
*ρέων καὶ τῶν γραμματέων καὶ τῶν πρεσβυτέρων.*
*δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς* 44
*λέγων· ὃν ἂν φιλήσω αὐτός ἐστιν· κρατήσατε*
*αὐτὸν καὶ ἀπάγετε ἀσφαλῶς. καὶ ἐλθὼν εὐθὺς* 45
*προσελθὼν αὐτῷ λέγει· ῥαββεί, καὶ κατεφίλησεν*

---

*33* Ιακωβ. *et* Ιωανν. : 𝔎 pr *τον* *35* **h** *προσελθων* *36* **H** *αββά* *39* **H** [*τον αυτ. λογ. ειπων*] *40* *παλιν ελθων* : **T** *υποστρεψας* | *αυτους* : **T**+ *παλιν* *41* **H** [*το*] *λοιπον* | *απεχει* : $h^{r}$+ *το τελος* *42* **T** *ηγγισεν* *43* [*ο*] : **R—T** | [*ο Ισκαρ.*] : **T—H** | **T**— *των* ult. *44* **T** *συνσημον*

---

*36 ουχ ο εγω θ. αλλ ο συ θελεις* *45 — ελθων ευθυς*

46 *αὐτόν· οἱ δὲ ἐπέβαλαν τὰς χεῖρας αὐτῷ καὶ ἐκρά-*
47 *τησαν αὐτόν. εἷς δέ [τις] τῶν παρεστηκότων*
*σπασάμενος τὴν μάχαιραν ἔπαισεν τὸν δοῦλον τοῦ*
48 *ἀρχιερέως καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτάριον. καὶ*
*ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· ὡς ἐπὶ λῃστὴν*
*ἐξήλθατε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με;*
49 *καθ' ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσ-*
*κων, καὶ οὐκ ἐκρατήσατέ με· ἀλλ' ἵνα πληρω-*
50 *θῶσιν αἱ γραφαί. καὶ ἀφέντες αὐτὸν ἔφυγον*
51 *πάντες. Καὶ νεανίσκος τις συνηκολούθει αὐτῷ*
*περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ, καὶ κρατοῦ-*
52 *σιν αὐτόν· ὁ δὲ καταλιπὼν τὴν σινδόνα γυμνὸς*
*ἔφυγεν.*
53 *Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα,*
*καὶ συνέρχονται πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύ-*
54 *τεροι καὶ οἱ γραμματεῖς. καὶ ὁ Πέτρος ἀπὸ μα-*
*κρόθεν ἠκολούθησεν αὐτῷ ἕως ἔσω εἰς τὴν αὐλὴν*
*τοῦ ἀρχιερέως, καὶ ἦν συνκαθήμενος μετὰ τῶν*
55–65: Mt 26,59–68. L 22,63–71. J 18,19–24.
55 *ὑπηρετῶν καὶ θερμαινόμενος πρὸς τὸ φῶς. Οἱ*
*δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν κατὰ*
*τοῦ Ἰησοῦ μαρτυρίαν εἰς τὸ θανατῶσαι αὐτόν,*
56 *καὶ οὐχ ηὕρισκον· πολλοὶ γὰρ ἐψευδομαρτύρουν*
57 *κατ' αὐτοῦ, καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. καί*
*τινες ἀναστάντες ἐψευδομαρτύρουν κατ' αὐτοῦ*
J 2,19. 58 *λέγοντες ˡὅτι ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος ὅτι*
*ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον*
*καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκο-*
59 *δομήσω. καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία*
60 *αὐτῶν. καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς μέσον ἐπηρώ-*
*τησεν τὸν Ἰησοῦν λέγων· οὐκ ἀποκρίνῃ οὐδέν; τί*

---

*47* [τις] : T *48* T *με·* *49* h *εκρατειτε* *51* T *Και εις τις νεαν.* | *αυτον* : h^r+ *οι νεανισκοι* *53 συνερχ.* : h[R]+ *αυτω* *55* T *ευρισκον* *58 αχειροπ. οικοδ.* : h^r ⊣ *αναστησω αχειροποιητον* ⊢ *60* T *ουδὲν τι* h *ουδεν; οτι*

---

*47* — *των παρεστηκοτων* | *ωτιον* *51 ηκολουθει αυτους* *52* fin + *απ αυτων* *58* — *τουτον*

οὗτοί σου καταμαρτυροῦσιν; ὁ δὲ ἐσιώπα καὶ 61 15,5. Is 53,7.
οὐκ ἀπεκρίνατο οὐδέν. πάλιν ὁ ἀρχιερεὺς ἐπη-
ρώτα αὐτὸν καὶ λέγει αὐτῷ· σὺ εἶ ὁ Χριστὸς ὁ
υἱὸς τοῦ εὐλογητοῦ; ὁ δὲ Ἰησοῦς εἶπεν· ἐγώ εἰμι, 62 Dn 7,13.
καὶ **ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν** Ps 110,1.
**καθήμενον τῆς δυνάμεως καὶ ἐρχόμενον μετὰ τῶν**
**νεφελῶν τοῦ οὐρανοῦ.** ὁ δὲ ἀρχιερεὺς διαρρήξας 63
τοὺς χιτῶνας αὐτοῦ λέγει· τί ἔτι χρείαν ἔχομεν
μαρτύρων; ˈἠκούσατε τῆς βλασφημίας· τί ὑμῖν 64 J 19,7.
φαίνεται; οἱ δὲ πάντες κατέκριναν αὐτὸν ἔνοχον
εἶναι θανάτου. Καὶ ἤρξαντό τινες ἐμπτύειν αὐτῷ 65
καὶ περικαλύπτειν αὐτοῦ τὸ πρόσωπον καὶ κολα-
φίζειν αὐτὸν καὶ λέγειν αὐτῷ· προφήτευσον, καὶ
οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔλαβον. Καὶ 66 66—72: Mt 26,69—75.
ὄντος τοῦ Πέτρου κάτω ἐν τῇ αὐλῇ ἔρχεται μία L 22,56—62. J 18,17.25—27.
τῶν παιδισκῶν τοῦ ἀρχιερέως, καὶ ἰδοῦσα τὸν 67
Πέτρον θερμαινόμενον ἐμβλέψασα αὐτῷ λέγει· καὶ
σὺ μετὰ τοῦ Ναζαρηνοῦ ἦσθα τοῦ Ἰησοῦ. ὁ δὲ 68
ἠρνήσατο λέγων· οὔτε οἶδα οὔτε ἐπίσταμαι σὺ τί
λέγεις. καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον· καὶ
ἀλέκτωρ ἐφώνησεν. καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν 69
ἤρξατο πάλιν λέγειν τοῖς παρεστῶσιν ὅτι οὗτος
ἐξ αὐτῶν ἐστιν. ˈὁ δὲ πάλιν ἠρνεῖτο. καὶ μετὰ 70
μικρὸν πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ·
ἀληθῶς ἐξ αὐτῶν εἶ· καὶ γὰρ Γαλιλαῖος εἶ. ὁ δὲ 71
ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύναι ὅτι οὐκ οἶδα
τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε. καὶ εὐθὺς ἐκ 72 30.
δευτέρου ἀλέκτωρ ἐφώνησεν. καὶ ἀνεμνήσθη ὁ
Πέτρος τὸ ῥῆμα ὡς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι πρὶν

63 H διαρηξας 64 H βλασφημιας; 68 h επισταμαι· συ τι λεγεις; | και αλεκτ. εφωνησεν : h$^{r}$—H 69 ηρξ. παλ. λεγειν : h ειπεν 72 h$^{r}$— εκ δευτερου

61 εκεινος δε εσιγα και ουδεν απεκριθη 62 μετα : επι 64 δοκει 67 — και 2$^{o}$ 69 παλιν δε ιδουσα αυτον η παιδισκη 70 fin + και λαλια σου ομοιαζει

ἀλέκτορα δὶς φωνῆσαι τρίς με ἀπαρνήσῃ· καὶ
ἐπιβαλὼν ἔκλαιεν.
Mt 27,1.2. L 22,66; 23.1. 15 Καὶ εὐθὺς πρωῒ συμβούλιον ποιήσαντες οἱ
J 18,28. ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων
καὶ ὅλον τὸ συνέδριον, δήσαντες τὸν Ἰησοῦν ἀπή-
2–19: Mt 27,11–30. 2 νεγκαν καὶ παρέδωκαν Πειλάτῳ. καὶ ἐπηρώτησεν
L 23,2–25. J 18,29–19,16. αὐτὸν ὁ Πειλᾶτος· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;
3 ὁ δὲ ἀποκριθεὶς αὐτῷ λέγει· σὺ λέγεις. [1] καὶ κατ-
4 ηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά. ὁ δὲ Πειλᾶτος
πάλιν ἐπηρώτα αὐτὸν [λέγων]· οὐκ ἀποκρίνῃ
14,61. Is 53,7. 5 οὐδέν; ἴδε πόσα σου κατηγοροῦσιν. ὁ δὲ Ἰησοῦς
οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν Πει-
6 λᾶτον. Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον
7 ὃν παρῃτοῦντο. ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ
τῶν στασιαστῶν δεδεμένος, οἵτινες ἐν τῇ στάσει
8 φόνον πεποιήκεισαν. καὶ ἀναβὰς ὁ ὄχλος ἤρξατο
9 αἰτεῖσθαι καθὼς ἐποίει αὐτοῖς. ὁ δὲ Πειλᾶτος
ἀπεκρίθη αὐτοῖς λέγων· θέλετε ἀπολύσω ὑμῖν τὸν
J 11,48; 12,19. 10 βασιλέα τῶν Ἰουδαίων; ἐγίνωσκεν γὰρ ὅτι διὰ
Mt. 21,38. 11 φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς. οἱ
δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον ἵνα μᾶλλον τὸν
12 Βαραββᾶν ἀπολύσῃ αὐτοῖς. ὁ δὲ Πειλᾶτος πάλιν
ἀποκριθεὶς ἔλεγεν αὐτοῖς· τί οὖν [θέλετε] ποιήσω
13 ὃν λέγετε τὸν βασιλέα τῶν Ἰουδαίων; οἱ δὲ πάλιν
14 ἔκραξαν· σταύρωσον αὐτόν. ὁ δὲ Πειλᾶτος ἔλεγεν
αὐτοῖς· τί γὰρ ἐποίησεν κακόν; οἱ δὲ περισσῶς
15 ἔκραξαν· σταύρωσον αὐτόν. ὁ δὲ Πειλᾶτος βουλό-
μενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι ἀπέλυσεν αὐτοῖς

---

*72* T φωνησαι δις   15,*1* ποιησ. : hT ετοιμασαντες | γραμμ. : T pr των   *2* h λεγεις;   *4* [λεγων] : R—T   *10* H [οι αρχιερεις]   *12* [θελετε] : T—H | H [ον]   *15* T βουλ. ποιησ. το ικ. τω οχλω

---

*72* — οτι ... απαρνηση | επιβ. εκλ. : ηρξατο κλαιειν   15,*1* απηγαγον εις την αυλην   *6* ονπερ ητουντο   *8* αναβοησας   *10* — οι αρχιερεις   *11* επεισαν   *12* — ον λεγετε   *15* — βουλομενος ... ποιησαι

*τὸν Βαραββᾶν, καὶ παρέδωκεν τὸν Ἰησοῦν φρα-*
*γελλώσας ἵνα σταυρωθῇ.*
*Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς* 16
*αὐλῆς, ὅ ἐστιν πραιτώριον, καὶ συνκαλοῦσιν ὅλην*
*τὴν σπεῖραν. καὶ ἐνδιδύσκουσιν αὐτὸν πορφύραν* 17
*καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέ-*
*φανον· ¹ καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν· χαῖρε,* 18
*βασιλεῦ τῶν Ἰουδαίων· καὶ ἔτυπτον αὐτοῦ τὴν* 19
*κεφαλὴν καλάμῳ καὶ ἐνέπτυον αὐτῷ, καὶ τιθέντες*
*τὰ γόνατα προσεκύνουν αὐτῷ. καὶ ὅτε ἐνέπαιξαν* 20 **20—41: Mt 27,31—56. L 23,26—49. J 19,16—30.**
*αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν καὶ ἐνέδυσαν*
*αὐτὸν τὰ ἱμάτια αὐτοῦ. Καὶ ἐξάγουσιν αὐτὸν*
*ἵνα σταυρώσουσιν αὐτόν. καὶ ἀγγαρεύουσιν παρά-* 21 **R 16,13.**
*γοντά τινα Σίμωνα Κυρηναῖον ἐρχόμενον ἀπ' ἀγροῦ,*
*τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν*
*σταυρὸν αὐτοῦ. καὶ φέρουσιν αὐτὸν ἐπὶ τὸν* 22
*Γολγοθᾶν τόπον, ὅ ἐστιν μεθερμηνευόμενον κρα-*
*νίου τόπος. καὶ ἐδίδουν αὐτῷ ἐσμυρνισμένον* 23 **Ps 69,22.**
*οἶνον· ὃς δὲ οὐκ ἔλαβεν. καὶ σταυροῦσιν αὐτόν,* 24 **Ps 22,19.**
***καὶ διαμερίζονται τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον***
***ἐπ' αὐτὰ** τίς τί ἄρῃ. ἦν δὲ ὥρα τρίτη καὶ ἐσταύ-* 25
*ρωσαν αὐτόν. καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας* 26
*αὐτοῦ ἐπιγεγραμμένη·* Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥ-
ΔΑΙΩΝ. *Καὶ σὺν αὐτῷ σταυροῦσιν δύο λῃστάς,* 27
*ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. Καὶ* 29 **Ps 22,8; 109,25. 14,58.**
*οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν **κινοῦντες***
***τὰς κεφαλὰς** αὐτῶν καὶ λέγοντες· οὐὰ ὁ καταλύων*
*τὸν ναὸν καὶ οἰκοδομῶν [ἐν] τρισὶν ἡμέραις, σῶσον* 30

---

*20 τα* : T+ *ιδια* | H *σταυρωσωσιν* | T— *αυτον* (ult) *22* H *Γολγοθὰν* | ℌ *μεθερμηνευομενος* *25 τριτη* : $h^r$ *εκτη* | *εσταυρωσ.* : $h^r$ ⊣ *εφυλασσον* ⊢ *27* fin : $h^r$+ *(28) και επληρωθη η γραφη η λεγουσα Και μετα ανομων ελογισθη* *29* T *ουᾶ* | T— [*εν*]

---

*17 — πλεξαντες* *18 ο βασιλευς* *19 — και τιθ. . . . αυτω* *20 — ενεπαιξαν αυτω* *22 αγουσιν* *26 ουτος εστιν ο βασιλ.* *29 παραγοντες*

31 σεαυτὸν καταβὰς ἀπὸ τοῦ σταυροῦ. ὁμοίως καὶ
οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν
γραμματέων ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ
Mt 16,1.4. 32 δύναται σῶσαι· ὁ Χριστὸς ὁ βασιλεὺς Ἰσραὴλ
καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ
πιστεύσωμεν. καὶ οἱ συνεσταυρωμένοι σὺν αὐτῷ
33 ὠνείδιζον αὐτόν. Καὶ γενομένης ὥρας ἕκτης
σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης.
Ps 22,2. 34 καὶ τῇ ἐνάτῃ ὥρᾳ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ·
**ἐλωῒ ἐλωῒ λαμὰ σαβαχθανεί**; ὅ ἐστιν μεθερ-
μηνευόμενον· **ὁ θεός μου ὁ θεός μου, εἰς τί ἐγκατ-**
35 **έλιπές με**; καί τινες τῶν παρεστηκότων ἀκούσαντες
Ps 69,22. 36 ἔλεγον· ἴδε Ἠλείαν φωνεῖ. δραμὼν δέ τις γεμίσας
σπόγγον **ὄξους** περιθεὶς καλάμῳ **ἐπότιζεν** αὐτόν,
λέγων· ἄφετε ἴδωμεν εἰ ἔρχεται Ἠλείας καθελεῖν
37 αὐτόν. ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην ἐξέ-
38 πνευσεν. Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη
39 εἰς δύο ἀπ' ἄνωθεν ἕως κάτω. Ἰδὼν δὲ ὁ κεντυ-
ρίων ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ ὅτι οὕτως
ἐξέπνευσεν, εἶπεν· ἀληθῶς οὗτος ὁ ἄνθρωπος
L 8,2.3. 40 υἱὸς θεοῦ ἦν. Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ
μακρόθεν θεωροῦσαι, ἐν αἷς καὶ Μαρία ἡ Μαγδα-
ληνὴ καὶ Μαρία ἡ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰω-
41 σῆτος μήτηρ καὶ Σαλώμη, αἳ ὅτε ἦν ἐν τῇ
Γαλιλαίᾳ ἠκολούθουν αὐτῷ καὶ διηκόνουν αὐτῷ,
καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς
Ἱεροσόλυμα.
42—47: Mt 27,57—61. L 23,50—55. J 19,38—42. 42 Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ ἦν παρασκευή,

---

34 T ἐλωΐ *bis* | T λεμὰ | ο θεος μου 2° : [H] | εγκατελιπες : h[r] ⊣ ωνειδισας ⊢ 35 παρεστηκ. : h εστηκοτων T παρεστωτων 36 τις : T+ και 38 T απο 39 T ην θεου 40 Μαρια 1° : H Μαριὰμ

---

31 — ομοιως 31.32 σωσαι, . . . Ισραηλ. 34 ζαφθανει 36 πλησας | επιθεις 38 δυο : + μερη 39 εξ εναντ. . . . ουτως : εκει ουτως αυτον κραξαντα και 40 Ιωση 41 — και διηκ. αυτω

*ὅ ἐστιν προσάββατον, ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμα-* 43
*θαίας, εὐσχήμων βουλευτής, ὃς καὶ αὐτὸς ἦν*
*προσδεχόμενος τὴν βασιλείαν τοῦ θεοῦ, τολμήσας*
*εἰσῆλθεν πρὸς τὸν Πειλᾶτον καὶ ᾐτήσατο τὸ σῶμα*
*τοῦ Ἰησοῦ. ὁ δὲ Πειλᾶτος ἐθαύμασεν εἰ ἤδη* 44
*τέθνηκεν, καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα*
*ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανεν· καὶ γνοὺς* 45
*ἀπὸ τοῦ κεντυρίωνος ἐδωρήσατο τὸ πτῶμα τῷ*
*Ἰωσήφ. καὶ ἀγοράσας σινδόνα καθελὼν αὐτὸν* 46
*ἐνείλησεν τῇ σινδόνι καὶ ἔθηκεν αὐτὸν ἐν μνήματι*
*ὃ ἦν λελατομημένον ἐκ πέτρας, καὶ προσεκύλισεν*
*λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. ἡ δὲ Μαρία* 47
*ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ Ἰωσῆτος ἐθεώρουν*
*ποῦ τέθειται.*

*Καὶ διαγενομένου τοῦ σαββάτου Μαρία ἡ Μαγ-* 16 1–8: Mt 28,1–8.
*δαληνὴ καὶ Μαρία ἡ [τοῦ] Ἰακώβου καὶ Σαλώμη* L 24,1–12.
*ἠγόρασαν ἀρώματα ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν.* J 20,1–10.
*καὶ λίαν πρωῒ τῇ μιᾷ τῶν σαββάτων ἔρχονται ἐπὶ* 2
*τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. καὶ ἔλεγον* 3
*πρὸς ἑαυτάς· τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ*
*τῆς θύρας τοῦ μνημείου; καὶ ἀναβλέψασαι θεω-* 4
*ροῦσιν ὅτι ἀνακεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας*
*σφόδρα. καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον* 5

---

*43* 𝔎—ο *44* T *εθαυμαζεν* | *παλαι* : 𝔎 *ηδη* *46* T *κατεθηκεν* *47* *Ιωσητος* : h^r *Ιακωβου et Ιωση et Ιωσηφ* 16,*1* *Μαρια* 1°: H pr [*η*] | T— [*του*] *2* H [*τη*] *μια* | T *μνημα* | h *ανατελλοντος* *3* *εκ τ. θυρ. τ. μνημειου* : h^r ab osteo? Subito autem ad horam tertiam tenebrae die factae sunt per totum orbem terrae, et descenderunt de caelis angeli et surgente (— es?) in claritate vivi Dei simul ascenderunt cum eo, et continuo lux facta est. Tunc illae accesserunt ad monimentum, *5* h *ελθουσαι*

---

*42* *πριν σαββατον* *43* *πτωμα* *46* *καθελων* : *λαβων* | fin + *και απηλθεν* *47* *εθεασαντο τον τοπον οπου* 16,*1.2* *Και πορευθεισαι ηγορασαν αρωματα ινα αυτον αλειψωσιν· και ερχονται πρωι μιας σαββατου επι το μνημειον ανατελλοντος τ. ηλιου.* *4* *ην γαρ μεγας σφοδρα· και ερχονται και ευρισκουσιν αποκεκυλισμενον τον λιθον*

*νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς περιβεβλη-*
6 *μένον στολὴν λευκήν, καὶ ἐξεθαμβήθησαν. ὁ δὲ*
*λέγει αὐταῖς· μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν*
*Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν*
14,28. 7 *ὧδε· ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. ἀλλὰ*
*ὑπάγετε εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ*
*Πέτρῳ ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ*
8 *αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. καὶ ἐξελθοῦσαι*
*ἔφυγον ἀπὸ τοῦ μνημείου, εἶχεν γὰρ αὐτὰς τρό-*
*μος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφο-*
*βοῦντο γάρ.*

L 8,2. 9 *⸢Ἀναστὰς δὲ πρωὶ πρώτῃ σαββάτου ἐφάνη πρῶ-*
J 20,11–18. *τον Μαρίᾳ τῇ Μαγδαληνῇ, παρ᾽ ἧς ἐκβεβλήκει*
10 *ἑπτὰ δαιμόνια. ἐκείνη πορευθεῖσα ἀπήγγειλεν*
*τοῖς μετ᾽ αὐτοῦ γενομένοις πενθοῦσι καὶ κλαίουσιν·*
11 *κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ᾽ αὐτῆς*
L 24,13–35. 12 *ἠπίστησαν. Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περι-*
*πατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ πορευομένοις*
13 *εἰς ἀγρόν· κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς*
14–18: 14 *λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν. Ὕστερον [δὲ]*
L 24,36–49. J 20,19–23. *ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη, καὶ*
1 K 15,5. *ὠνείδισεν τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν*
*ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ*
Mt 28,18–20. 15 *ἐπίστευσαν. καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἰς*
*τὸν κόσμον ἅπαντα κηρύξατε τὸ εὐαγγέλιον*

---

*8* H *ειπαν,* | H *γαρ·* ***** + in nova pagina inter [[ ]] appendicem v. 9—20, quos versus R ut partem evangelii impressit *9 παρ* : Ti *αφ* *14* Ti— *[δε]* | *εγηγερμ.* : H+ *[εκ νεκρων]* | fin : h[r]+ Et illi satisfaciebant dicentes Saeculum istud iniquitatis et incredulitatis substantia (*vl* sub Satana) est, quae non sinit per immundos spiritus veram Dei apprehendi virtutem: idcirco jamnunc revela justitiam tuam

---

*7 οτι ιδου προαγω . . . με . . . ειρηκα* *8 φοβος*
*9 εφανερωσεν πρωτοις* *11 ουκ επιστευσαν*

*πάσῃ τῇ κτίσει. ὁ πιστεύσας καὶ βαπτισθεὶς* 16 Act 2,38.
*σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται. ση-*
*μεῖα δὲ τοῖς πιστεύσασιν ταῦτα παρακολου-* 17 Act 16,18. Act 2,4.11; 10,46.
*θήσει, ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσιν,*
*γλώσσαις λαλήσουσιν καιναῖς, ˡ ὄφεις ἀροῦσιν κἂν* 18 L 10,19. Act 28,3–6. Jc 5,14,15.
*θανάσιμόν τι πίωσιν οὐ μὴ αὐτοὺς βλάψῃ,*
*ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσιν καὶ καλῶς* 19: L 24,50–53.
*ἕξουσιν. Ὁ μὲν οὖν κύριος [Ἰησοῦς] μετὰ τὸ* 19 Act 1,4–11. 1 T 3,16.
*λαλῆσαι αὐτοῖς* ***ἀνελήμφθη εἰς τὸν οὐρανὸν*** *καὶ* Ps 110,1. Act 7,55.
***ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ.*** *ἐκεῖνοι δὲ ἐξελθόντες* 20 2 Rg 2,11.
*ἐκήρυξαν πανταχοῦ, τοῦ κυρίου συνεργοῦντος καὶ* H 2,4.
*τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων*
*σημείων.)*

## *ΑΛΛΩΣ*

*(Πάντα δὲ τὰ παρηγγελμένα τοῖς περὶ τὸν Πέτρον συντόμως ἐξήγγειλαν. Μετὰ δὲ ταῦτα καὶ αὐτὸς ὁ Ἰησοῦς ἀπὸ ἀνατολῆς καὶ ἄχρι δύσεως ἐξαπέστειλεν δι' αὐτῶν τὸ ἱερὸν καὶ ἄφθαρτον κήρυγμα τῆς αἰωνίου σωτηρίας.)*

---

*17* 𝕳 *ακολουθησει ταυτα* | 𝕳— *καιναις* · *18 οφεις* : H pr [*και εν ταις χερσιν*] *19* Ti— [*Ιησους*] *20 σημειων* : h+ *Αμην.*
RT— *Αλλως* ⟦*Παντα . . . σωτηριας.*⟧

---

*19 θεου : πατρος*

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/